Εἰς τὸ τέλος.

ΨΑΛΜΟΣ ΤΩ, ΔΑΒΙΔ. ξγ΄. 63.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ. ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν. Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον, ἐξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν. Διηγήσαντο τοῦ κρύψαι παγίδα. Εἶπον, τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις. Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ Θεός. βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξηθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτοὺς, καὶ ἐφοβήθη πᾶς ἄνθρωπος. Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ, καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα.

## ΚΑΘΙΣΜΑ ΕΝΝΑΤΟΝ.

Εἰς τὸ τέλος.

ΨΑΛΜΟΣ ὨΔΗΣ ΤΩ, ΔΑΒΙΔ.

Ὠδὴ Ἱερεμίου, καὶ Ἰεζεκιὴλ, καὶ τοῦ Λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι. ξδ΄. 64.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει. Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.

Μα-